εἰς δέους κατασκευήν. εἰ γὰρ ἅπαντα τὰ κατὰ τὴν δη-
μιουργίαν ἡδέα μόνον ἐτύγχανε, καὶ γλαφυρότητος ἔμπλεα, καὶ
μηδὲν ἦν παντελῶς, τὸ ἠρέμα γοῦν ἐκφοβοῦν, χαλεπῶς ἂν
ἔδοξαν ἄνθρωποι παιδαγωγεῖσθαι πρὸς ἀφοβίαν. ἔχει δὲ ταῦ-
τα καὶ ποικιλίας κόσμον, καὶ τῷ φοβερῷ καταμεμιγμένην
τὴν εὐπρέπειαν. αὐτίκα καὶ πρὸς τούτοις εἴποι ἕτερα, ἃ
μήτε τρέφειν ἀνθρώπους ἐπιτήδεια, μήτε περιβολὴν ἐνδυ-
μάτων παρέχειν, μήτ' οὖν θηριώδη καὶ ἄγρια τυγχάνει,
μόνον δὲ κόσμου τὴν ποικιλίαν ἀναπληροῖ. καὶ δῆλοι ὡς
ἅπαντα ἥμερά τε καὶ ἄγρια, καὶ τὰ μέσους ἔχοντα ἑνὸς
ὑποβεβλημένα δημιουργίᾳ τε καὶ βουλήματι διαμένοι, τὴν
ἀλληλοφθορίαν διαφεύγοντα, καὶ ποικίλοις πλεονεκτή-
μασιν ἠσφαλισμένα. τὰ μὲν γὰρ ἰσχὺν ἄμαχον ἔχει. τὰ
δὲ ἀσθενέστερα τῷ τάχει τῆς φύσεως τὴν σωτηρίαν πο-
ρίζεται. καὶ ἄλλα ἄλλως ὥπλισται. καὶ τὰ δοκοῦντα ἄο-
πλα τυγχάνειν, ἄλλον τινὰ τρόπον μεμηχανημένην ἔχει
τὴν ~~α~~ ἀσφάλειαν. ἢ γὰρ πτηνῶν ἔλαχε φύσιν, ἢ ὑπὸ
γῆν διαλανθάνει. οὕτω τὸ μὲν κόσμιον ὁ δημιουργὸς τῇ
ποικιλίᾳ πεπόρισται, ἐπανισῶν δὲ τὰ διάφορα τοῖς
πᾶσι διανέμει τὴν ἀσφάλειαν, ὡς ἂν μηδὲν γένος
τούτων ἀσθενείᾳ φύσεως προδοθὲν παραπόληται. οὕτω
δὴ καὶ πρὸς τὰς ὥρας ἠμφίεσται περιβολαῖς αὐτο-
μάτοις, θριξί τε πυκναῖς, καὶ στερροῖς δέρμασι, χει-
μῶνός τε καὶ καύματος ἀποκρούσασθαι τὴν βλάβην
ἱκανοῖς, τὴν δὲ ἐπὶ γῆς ἀνάκλισίν τε καὶ ἀνάπαυ-
λαν εὐμαρεστέραν ἀπεργαζομένοις, ὡς αὐτοφυῆ στρω-
μνὴν ὑποκεῖσθαι δοκεῖν. καὶ τὰ μὲν ὀλιγογόνια ἔλαχε
ἢ ὡς δυσάλωτα ἢ ὡς πολυχρόνια. τὰ δὲ εὐάλωτα, καὶ τῇ
καθ' ἡμέραν χρήσει παραδεδομένα, τῇ πολυγονίᾳ διαμένει
καὶ σώζεται. τροφὰς δὲ ἄλλοτε ἄλλας ἔχει. καὶ τοῖς πᾶσιν
ἄφθονος ἡ χορηγία πρόκειται. οὕτω γὰρ οὐδὲ τῶν θανα-
σίμων